διὰ τέλους ἀνὰ κράτος τροπωσαμένου καὶ τῷ θείῳ καὶ ἀγγελικῷ σχήματι εἴπερ τις ἄλλος ἐνδιαπρέψαντος· οὗ ὁ βίος μὲν τῷ λόγῳ, ὁ λόγος δὲ τῷ βίῳ σύμφωνος, ἡ δ' ἔξωθεν ἐπωνυμία τῇ νοουμένῃ καὶ κατὰ ψυχὴν εὐγενείᾳ συνᾴδουσα· ὃς οὕτω καὶ ἦθος ἐκόσμησε καὶ γλῶτταν ἐπαίδευσε καὶ πᾶσαν αἴσθησιν θαυμασίως ἐρρύθμισεν, ὥστε τύπον τινὰ καὶ εἰκόνα καλοῦ παντὸς ἅπασι καθεστηκέναι· ᾧ σπουδὴ μὲν ὑπερφυὴς καὶ ἀγχινοίας ἀκρότης πρὸς τὴν ἔξω φιλοσοφίαν, αἱ δὲ μετὰ τῆς ἱερᾶς παρθενίας καὶ τῆς σεμνοτάτης πολιτείας πρὸς τὴν ἀληθινὴν καὶ τῶν θείων θρόνων πάρεδρον σοφίαν καὶ θεωρίαν, πᾶσαι δὲ ὁμοῦ πρὸς τὴν ὑψηλὴν συνεπελάβοντο θεολογίαν, ὡς τὸν τούτου βίον καὶ λόγον τοῦ τῶν μεγίστων ἐκείνων διδασκάλων καὶ θεολόγων μηδένα ἀποδεῖν, καθὼς οὐ τὰ θαυμαστὰ μόνον αὐτοῦ συγγράμματα ἀλλὰ δὴ (f. 764) καὶ οἱ ἐν Ἰταλίᾳ ἀγῶνες καὶ τὰ κατὰ τῆς καινοτομίας τρόπαια σαφῶς μαρτυρεῖ, ἔνθα τοὺς μὲν ἀντιδόξους δυνάμει λόγων καὶ θαυμασίᾳ πλοκῇ καὶ οἰκονομίᾳ καὶ τῇ τῶν ἁγίων πατέρων ἀκραιφνεῖ θεολογίᾳ παντελῶς ἐπιστομήσας, μεγάλου φωστῆρος ἐξ ἕω δίκην τὰ τῆς οἰκουμένης ἄκρα ταῖς τῶν ἔργων καὶ τῶν ἱερῶν δογμάτων ἀκτῖσι κατέλαμψε, τὸ δὲ τῆς καθολικῆς ἐκκλησίας ὑγιὲς καὶ πατροπαράδοτον δόγμα μόνος ἐκράτυνεν, ὥστε παρὰ πάντων εἰκότως ἐπονομάζεσθαι τῷ μὲν τοῦ ἤθους σεμνῷ καὶ θεοειδεῖ καὶ ταῖς τῶν λόγων σειρῆσι νέον μέγαν Βασίλειον, τῇ δ' ὑψηλῇ θεηγορίᾳ καὶ τῇ θεοκροτήτῳ φωνῇ τρίτον θεολόγον μετὰ τὸν ἐπιστήθιον καὶ τὸν θεῖον Γρηγόριον, τῇ δὲ πολυχεύμονι πρὸς πᾶν εἶδος λόγου πηγῇ καὶ τῇ μελι ρύτῳ γλώττῃ καὶ πειθοῖ ἄλλον Χρυσόστομον, τῷ δὲ διὰ πάντων ἄκρῳ παρὰ πάντας ὑπὸ πάντων διαφερόντως καὶ ποθεῖσθαι καὶ σέβεσθαι καὶ τοὺς νῦν καὶ τοὺς πώποτε, πρὸς δὲ τὸν μὲν ἐν οὐρανοῖς πατέρα ἔργων τε καλῶν καὶ φωτεινῶν καὶ λόγων ἐνθέων ἐπιδείξει δοξάσας, πατρίδα δὲ καὶ γένος τιμήσας, τοὺς ἁπανταχοῦ καλουμένους ἀπὸ Χριστοῦ πρὸς τὴν εὐσέβειαν καὶ τὸ κατὰ τοὺς πατρικοὺς ὅρους καὶ νόμους πάντῃ ἀμετάθετον τοῦ ἱεροῦ συμβόλου τῆς ἡμῶν πίστεως ἐστήριξε, μετὰ δὲ ταῦτα πρὸς μυρίους ἄθλους καὶ πειρασμοὺς κρατερῶς ἀποδυσαμένου καὶ ἐν πυκναῖς θλίψεσι ὡς χρυσὸς ἐν καμίνῳ δοκιμασθέντος καὶ διόλου καθαροῦ καὶ ἀκιβδήλου καὶ ἀθλητοῦ νομίμου καὶ νικητοῦ σαφῶς ἀναδειχθέντος καὶ διαρρήδην παρὰ τοῖς εὐσεβεῖν ᾑρημένοις ὡς κἂν τῇ φοβερᾷ ἡμέρᾳ παρὰ τοῦ δικαίου κριτοῦ τὸν ἀποκείμενον αὐτῷ τῆς δικαιοσύνης στέφανον ἀπολήψεται λαμπρῶς ἀνακηρυχθέντος, αἰωνία ἡ μνήμη, αἰωνία ἡ μνήμη, αἰωνία ἡ μνήμη.

---

8. πολιτείας ex παρθενίας corr. A.
10. a voce μεγίστων desinit cod. B. f. 346 v.